eul_wid: mmg-ai

*Ἀνώνυμος ἱστορικός (ἀποσπάσματα)* · Historical Fragments Anonymous

# On the History of Alexander

*Περὶ τῆς Ἱστορίας Ἀλεξάνδρου*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Μικταὶ διάλεκτοι* Mixed Dialects (frg)
**Domain:** *Ἱστορία* History
**Format:** *Συναγωγή* Collection

2b,153,T 1 CIC. pro Archia poet. 24: quam multos scriptores rerum suarum magnus ille Alexander secum habuisse dicitur. atque is tamen, cum in Sigeo ad Achillis tumulum astitisset ‘o fortunate‘ inquit ‘adulescens, qui tuae virtutis Homerum praeconem inveneris‘.

2b,153,T 2 ARRIAN. Anab. I 12, 1—2: καὶ εὐδαιμόνισεν ἄρα, ὡς λόγος, Ἀλέξανδρος Ἀχιλλέα, ὅτι Ὁμήρου κήρυκος ἐς τὴν ἔπειτα μνήμην ἔτυχε. καὶ μέντοι καὶ ἦν Ἀλεξάνδρωι οὐχ ἥκιστα τούτου ἕνεκα εὐδαιμονιστέος Ἀχιλλεύς, ὅτι αὐτῶι γε Ἀλεξάνδρωι, οὐ κατὰ τὴν ἄλλην ἐπιτυχίαν, τὸ χωρίον τοῦτο ἐκλιπὲς ξυνέβη οὐδὲ ἐξηνέχθη ἐς ἀνθρώπους τὰ Ἀλεξάνδρου ἔργα ἐπαξίως, οὔτ’ οὖν καταλογάδην οὔτε τις ἐν μέτρωι ἐποίησεν· ἀλλ’ οὐδὲ ἐν μέλει ἤισθη Ἀλέξανδρος .... ὥστε πολὺ μεῖον γιγνώσκεται τὰ Ἀλεξάνδρου ἢ τὰ φαυλότατα τῶν πάλαι ἔργων.

2b,153,T 3 ——prooem. 2: ἄλλοι μὲν δὴ ἄλλα ὑπὲρ Ἀλεξάνδρου ἀνέγραψαν, οὐδ’ ἔστιν ὑπὲρ ὅτου πλείονες ἢ ἀξυμφωνότεροι ἐς ἀλλήλους.

2b,153,T 4 STRABON XI 5, 5: (Kleitarch. 137 F 16) καὶ τὰ πρὸς τὸ ἔνδοξον θρυληθέντα κἂν ὡμολόγηται παρὰ πάντων, οἵ γε πλάσαντες ἦσαν οἱ κολακείας μᾶλλον ἢ ἀληθείας φροντίζοντες· οἷον τὸ τὸν Καύκασον μετενεγκεῖν εἰς τὰ Ἰνδικὰ ὄρη καὶ τὴν πλησιάζουσαν ἐκείνοις ἑῶιαν θάλατταν ἀπὸ τῶν ὑπερκειμένων τῆς Κολχίδος καὶ τοῦ Εὐξείνου ὀρῶν. ταῦτα γὰρ οἱ Ἕλληνες [καὶ] Καύκασον ὠνόμαζον, διέχοντα τῆς Ἰνδικῆς πλείους ἢ τρισμυρίους σταδίους, καὶ ἐνταῦθα ἐμύθευσαν τὰ περὶ Προμηθέα καὶ τὸν δεσμὸν αὐτοῦ· ταῦτα γὰρ τὰ ὕστατα πρὸς ἕω ἐγνώριζον οἱ τότε. ἡ δὲ ἐπὶ Ἰνδοὺς στρατεία Διονύσου καὶ Ἡρακλέους ὑστερογενῆ τὴν μυθοποιίαν ἐμφαίνει, ἅτε τοῦ Ἡρακλέους καὶ τὸν Προμηθέα λῦσαι λεγομένου χιλιάσιν ἐτῶν ὕστερον. καὶ ἦν μὲν ἐνδοξότερον τὸ τὸν Ἀλέξανδρον μέχρι τῶν Ἰνδικῶν ὀρῶν καταστρέψασθαι τὴν Ἀσίαν ἢ μέχρι τοῦ μυχοῦ τοῦ Εὐξείνου καὶ τοῦ Καυκάσου· ἀλλ’ ἡ δόξα τοῦ ὄρους καὶ τοὔνομα καὶ τὸ τοὺς περὶ Ἰάσονα δοκεῖν μακροτάτην στρατείαν τελέσαι τὴν μέχρι τῶν πλησίον Καυκάσου καὶ τὸ τὸν Προμηθέα παραδεδόσθαι δεδεμένον ἐπὶ τοῖς ἐσχάτοις τῆς γῆς ἐν τῶι Καυκάσωι, χαριεῖσθαί τι τῶι βασιλεῖ ὑπέλαβον, τοὔνομα τοῦ ὄρους μετενέγκαντες εἰς τὴν Ἰνδικήν.

2b,153,T 5 STRABON XV 1, 28: πάντες μὲν γὰρ οἱ περὶ Ἀλέξανδρον τὸ θαυμαστὸν ἀντὶ τἀληθοῦς ἀπεδέχοντο μᾶλλον (Onesikr. 134 T 10).

2b,153,T 6

—II 1, 6: οὐδὲ τοῦτο δὲ ἀπίθανον τοῦ Πατροκλέους, ὅτι φησὶ τοὺς Ἀλεξάνδρωι συστρατεύσαντας ἐπιδρομάδην ἱστορῆσαι ἕκαστα, αὐτὸν δὲ Ἀλέξανδρον ἀκριβῶσαι, ἀναγραψάντων τὴν ὅλην χώραν τῶν ἐμπειροτάτων αὐτῶι.

2b,153,F 1 P. OX. 13: ηντ[ .... . ]ριω[ .... ] ἀνῆλθον. [ἅ τοί] νυν περὶ τὴν σὴν βασιλε[ίαν] καὶ τὴν οἰκίαν τὴν τ[ῶν] σῶν ἑταίρων παρηνό[μη] σαν, εἰ καὶ τυγχάνεις [εἰ] δώς, ὅμως ἔδοξέ μο[ι γρά] ψαι πρός σε διὰ βραχέω[ν, ἵ] να μὴ δοκῆις ἀπολελε[ῖφθαί] με τούτων. Θηβαῖοι γὰρ πρῶτον μὲν Ἀμύνταν [τὸν] πατέρα τὸν Φιλίππου μ[ε] τ' Ὀλυνθίων ἐπεχείρησα[ν] ἐκβαλ[εῖ]ν μὲν ἐκ τῆς χώ ρας, ἀπ[οστ]ερ[ῆ]σαι δὲ τῆς βα σιλεία[ς, καίπερ] οὔτε πρό τερον ἀ[δικηθ]έντες ὑπ [ὸ τοῦ βασιλέως ο]ὐδὲν **

2b,153,F 2 STRABON XV 1, 35: ἐκδέδοται δέ τις καὶ Κρατεροῦ πρὸς τὴν μητέρα Ἀριστοπάτραν ἐπιστολή, πολλά τε ἄλλα παράδοξα φράζουσα καὶ οὐχ ὁμολογοῦσα οὐδενί, καὶ δὴ καὶ τὸ μέχρι τοῦ Γάγγου προελθεῖν τὸν Ἀλέξανδρον· αὐτός τέ φησιν ἰδεῖν τὸν ποταμὸν καὶ κήτη τὰ ἐν αὐτῶι καὶ μεγέθους καὶ πλάτους καὶ βάθους πόρρω πίστεως μᾶλλον ἢ ἐγγύς. ὅτι μὲν γὰρ μέγιστος τῶν μνημονευομένων κατὰ τὰς τρεῖς ἠπείρους, καὶ μετ' αὐτὸν ὁ Ἰνδός, τρίτος δὲ καὶ τέταρτος ὁ Ἴστρος καὶ ὁ Νεῖλος, ἱκανῶς συμφωνεῖται· τὰ καθ' ἕκαστα δ' ἄλλοι ἄλλως περὶ αὐτοῦ λέγουσιν, οἱ μὲν τριάκοντα σταδίων τοὐλάχιστον πλάτος, οἱ δὲ καὶ τριῶν, Μεγασθένης (III) δέ, ὅταν ἦι μέτριος καὶ εἰς ἑκατὸν εὐρύνεσθαι, βάθος δὲ εἴκοσι ὀργυιῶν τοὐλάχιστον.

2b,153,F 3 INDEX LIBR. ARISTOT. HESYCH. 176—178: Περὶ Ἀλεξάνδρου η . Περὶ ῥήτορος ἢ πολιτικοῦ. Τέχνην ἐγκωμιαστικήν.

2b,153,F 4 THEMIST. or. 3 p. 55, 10 Dind.: .... ἀνακηρύττειν σε οὐκ ἀναίνεται μετὰ πλείονος τῆς παρρησίας ἢ Ξενοφῶν Ἀγησίλαον καὶ Ἀλέξανδρον Ἀριστοτέλης καὶ τὰ τελευταῖα δὴ ταῦτα ὁ Ζήνωνος ἐραστὴς τὸν καθ' ἑαυτὸν βασιλέα.

2b,153,F 5 RUTIL. LUPUS I 18 p. 11, 6 Halm: item Aristotelis (F 594 Rose): «Alexandro enim Macedoni neque in deliberando consilium neque in proeliando virtus neque in beneficio benignitas deerat, sed dumtaxat in supplicio crudelitas. nam cum aliqua res dubia accidisset, apparebat sapientissimus: cum autem confligendum esset cum hostibus, fortissimus; cum vero praemium dignis tribuendum, liberalissimus; at cum animadvertendum, clementissimus.»

2b,153,F 6 SUID. s. Δίων ὁ Πασικράτους ... ὃν Χρυσόστομον ἐκάλεσαν ...... ἔγραψεν .... Περὶ τῶν Ἀλεξάνδρου ἀρετῶν η .

2b,153,F 7 P. FREIB. 7—8: col. I—II ]I[ Μνήσιππος. [τί ὀξ]ὺ φε[ρ]όμενος, ὦ Κα 〈λ〉 λίστρατε, πυκνότερα [περι]σκέπτηι καὶ τύπτεις ἑαυτοῦ τὴν κεφαλήν; [τί νυ]νε[ὶ ο]ὐ[κ] ἀνθορᾶις μὰ Δι' ἀλγεινότερός τε ἢ κατ' ἀ [ξί]αν προελήλυθας; ἐπίστησον οὖν κατὰ τὸ γενναῖον [καὶ] λέγε μοι θαρρῶν, τί σοι συμβεβήκει. τῆι γὰρ Μακεδό [νω]ν εὐψυχείαι πρέπον ἐστὶν ἐν μὲν ταῖς πράξεσι τὰ [ἀπὸ] τῶν ὅπλων, ἐν δὲ ταῖς ψυχαῖς τὰ ἀπὸ τῆς εὐγνω [μ]οσύνης μαρτυρε[ῖ]σθαι, ἵνα τὰ μὲν τρόπαια κηρύσσηι [τὴ]ν τοῦ σώματος ἀρετήν, τὰ δὲ δόγματα μαρτυρῆι [τὴ]ν τῆς ψυχῆς εὐγένειαν. Καλλίστρατος. [περ]ισκόπει, περισκόπει πανταχοῦ, Μνήσιππε, μή τις [προ]σαγωγὸς ἢ κατάσκοπός τις ἡμῶν κατακροᾶται. [οὐ] δήπ[ο]υ νόμοι οὐδὲ δημοκρατεία κατὰ Μακεδονίαν, [ἀλλὰ τυ]ραννίδι καὶ φόβωι ὑποτετάγμεθ[α]. Ἀ[ν]τίπατρος γὰρ [ . ]ε[ . ] [ .. ] μὲν προπετέστερος ὑπάρχων κα[ὶ] ἰτ[α]μός, οὐχ ἁρ [μόζ]ει δὲ διαδήματά τε καὶ πορφύρα [αὐτῶι ...... ]ο[ . ]δες [ .... ]χο[ .. ] μητέρα Ὀλυμπιάδα προσσ[ ........ ]λυ[ . ] [ ......... ], ὦ Μνήσιππε, ἐπὶ τοῖς γε[γενημένοις· οὐ γ]ὰ[ρ ἀπηλλ]άγη Ἀλέξανδρος κατορυ[χεὶς ὡς θνητός, ἀλ λὰ ὡς θεὸς ἐτε]λεύτησεν. Μνήσιππος. [ ......... ]ιν, ὦ Καλλίστρατε, γ[ ** ........... ]ιν ὁ Ἀντίπατρος [ ** .......... ν]ὴ Δία ἁ[ρ]μόζεται λ[ ** οὐ γὰρ ὡς ὁ τυ χὼν βασιλεὺς ἔ]ζη, ἀλλὰ ἐκ πα[ιδὸς ἄριστα πᾶσιν ἐφέστηκε τοῖς πράγμασιν, ὅ]τε δὲ ἐτελεύτησ[ε, δῆλον ἦν ὡς οὐδὲν θειό]||τερον τῆς Ἀλεξάνδρου

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ψυχῆς, ὡς θνητὸς ὢν βίον ἔσχεν εἰς ἀθανασίαν δόξης, Ἀντίπατρος δ’ αὐτὸν ποιήσεται ἁπάσης Μακεδονίας ἐχθρόν. τοιγαροῦν ἡ Ἀλεξάνδρου θ〈ε〉ιότης ⟦ των ⟧ τ[ὸ]ν τῆς ἡγε[μ]ονίας ὅρον ἐκτέθειται. ἀλλ’ αὐτὸς Ἀντίπατρος π[ρ]οέρχεται· μεταστῆναι. Ἀντίπατρος. Μακεδονία μὲν εὐδαίμων καὶ πάλαι, νῦν μέν (τοι)— col. III ** ** ** * ]ι . νο[ ** ]πωνο[ ** ]τωπερ[ ** ] . αφικε[ ........... Μέν]αι[χμος ** * ]πηδ[ ........... ]υσετοξα[ .......... ὡ]ς ἦλθο[ν πρὸς Ὀλυ]μπιάδα [ ..... ......... ]γγυς, ἀπο[ ....... ] αὐτῆς ‘κα[ ...... Ἀλέξαν]δ[ρ]οσ‘ φησί ‘τ[ ...... ]τιν οἷα γυν[ * ...... ]χου. τὸ γὰρ αὐτ[ὸ γέγρ]αφα (?) καὶ ἐν το[ ...... ] δο[ ...... ]αρινδε καταλ[ .... ]οις γυν[αι]κὸς [ .... ]εν [ ........ ]α καὶ ἡ Στεροπὴ Ἀλέξανδρον αὐτόθ[ ..... ....... ] ἀνέτειλε τῶν Φιλιππε[ίω]ν υἱῶν σοφω[ . ........ ] .. κεκλῆσθαι μᾶλλον [ἢ] εἶναι Ἀντίπ[α]τρος [ποιεῖ αὐ]τὴν βασιλίδα‘ Ἀντίπατρος. [ ...... ] κολύμεθα ἴσως παρ’ Ὀλυμπιάδι αἰσθο [μένηι, μισοῦντας] τὸν κόμπον τῆς ῥήσεως· δεῖ πάν [τας πτοεῖσθαι (?) τῶι] δράκοντι καὶ τοῖς ἐφευρημένοις, [οἷς εἰς θεοὺς] ἐνέκρινε τὸν βασ[ι]λέα, δι’ ἃ καὶ [ ......... τ]ὴν πολλάκις φέρουσαν καὶ πολύ. [ἡμῖν δὲ μέθη] ἐθρυλήθη καὶ τύπωμα Δαρείου [καὶ ἑταίρ]ων θάνατο[ι], ὧν Ἀλέξανδρος σύνοιδεν [αἴτιος ὤν. εἰ δ’ οὐ] κατὰ μῦθό[ν] ἐστι τεθνηκώς, αἰνηθεὶς [μάτην, καὶ βασ]ιλέων, γνώσεταί με δεσπότην [ὄντα. τὸ ν]ῦν γὰρ ἀδοξεῖ, αἰσθήσεται δ’ ἐμοῦ κολαζο [μένη κα]τὰ σθένος. ἀλλ’ ἴθι, Μέναιχμε, μετὰ τὸ [ .......... ]του καὶ τὴν τοὺς θεοὺς ἀκηδοῦσαν col. IV ... ]οσ[ ......... ]ν [ .** (Κάσσανδρος.) [ . ]ωτης [ ...... ] εσοχη[ * . ]εδυει [ ...... ]ειωι [ * . ]νγυος σὸν μὲν ἴσως, βα[σιλεῦ, παντὶ σθένει ἐπι κου]ρεῖν τῶι γέ σου ὀφ[θαλμῶι * ] τυγχάν[ο]υσιν οἱ φό[ ** ἔ β]αλλεν, ὃ κατώ〈ι〉κνει ὑπ[ ** . ]σι. νῦν γὰρ οὐκ ἄλλο τ[ι κατηγορεῖ ἡ Ὀλυμ] πιὰς τοῦ γυναικίου ἢ [ .......... ]ρ[ * ] τὸν γάμον τιαφωσοιτυ[ ......... ]ω[ * ] ἀντιλέγει λόγοις [ . ]υκ[ ........ ]αν[ * ] λη, ἀλλ’ εἰς ἐπίτασιν ση[ ..... ]ροσεχει[ * ] δ’ αὐτῆι, συγγνώμη, καὶ [γὰρ τ]ὸ ἀπὸ τῆς τύχη[ς] προσφάτως παρέστη· τέθνηκεν Ἀλέξαν δρος· ὡς καὶ 〈εἰ〉 μὴ γεγεννήκει τὸν βασιλέα, ἀνάγκην εἶχε πενθεῖν, καὶ ὅτι γεγεννή κει. καλὸν μὲν οὖν, ὦ βασιλεῦ, περιμεῖναι τὴν γυναῖκαν καὶ ἐν τοιούτοις ὑπάρχουσα. τὸ γὰρ π[ρο]πετὲς τῆς ἀρνήσεως ἡ μεταμέ λεια κελαμυσαι. Ἀντίπατρος. σὺ μὲν καλῶς ἔλεξας, ὦ Κάσσανδρε, καὶ σοῦ τὸ λῆμά [ἐ]στι χρησ[τ]ῶν καὶ ἐν πολέμοις καὶ ἐν γνώμηι ἄριστον. [ἀ]λλ’ ὁρῶ προσιοῦσαν τὴν θεο μήτορα καὶ τοῖς [διασκ]ευῆς μύθοις μεγάλα φρονοῦσα καὶ τοὺ[ς ἐ]πιχωρίους βασιλεῖς ἀδο ξοῦσα. καὶ τὰ πρὸς ἡμᾶς Ὀλυμπιὰς οὕτω σο βα-

2b,153,F 7 ρῶς καὶ τυραν[νι]κῶς. ἔξεστι γάρ σοι δια λέγεσθαι ομοκιπ . ονιαςουβασ[ι]λευσ[

2b,153,F 8 P. OX. 216: [βούλεσθε οὖν] ἀπὸ μιᾶς ἐπιστολ[ῆς ἀ]πει λῆς? δουλείαν ἀντ’ ἐλευ θερίας ἀντικαταλλάσσε σθαι; καὶ ποῦ τὸ περιμάχη τον οἴχεται φρόνημα τῆς ἡγεμονίας; ἐπιζητῶ γάρ, εἰ μή τι διαμαρτάνω τῶι λογισμῶι. φησὶν ἡμῖν πολεμήσειν καὶ ἡμεῖς ἐκ[είνωι ........ ] .. ων ... (zerstörte reste) || [τίνα τῶν συμμά χω]ν ἀπολωλέκα[μεν; ποῦ τὰ] τείχη τῆς πό[λεως πέ] πτωκεν; τίς αἰχμ[άλωτος] ἡμῶν γέγονεν; [πότε] πεζο μαχοῦντες ἢ ναυμαχοῦντες λελείμμεθα; ἐνταῦθα γὰρ ἄνθρωποι περιγεγ[ρα]μμέ νοι πάσας τὰς ἐλπίδας τῶι τῆς ἀνάγκης καιρῶι δουλεύ σουσι. ἡμῖν δ’ ἀπόρθητός ἐστιν ἡ δημοκρατία· ὁμονο οῦμεν πρὸς ἀλλήλους· τοῖς νό μοις ἐνμένομεν· καρτερεῖν ἐν τοῖς δεινοῖς ἐπιστάμε θα· τὴν τῆς ἐλευθερίας τά ξιν οὐκ ἐνκαταλείπομεν. ⟦ ἐν ⟧ τοῖς ὅπλοις νικήσας νεανικευέσθω, ταῖς δ’ ἀπὸ τῶν ἐπιστολῶν ἀπειλαῖς τοὺς βαρβάρους ἐξαπατάτω. ἡ δὲ τῶν Ἀθηναίων πόλις ἐπιτάττειν, οὐχ ὑπακούειν [ἐπίσταται]· καὶ δ[ικά]ζε[ιν **

2b,153,F 9 P. BEROL. 13044: ... ] κ[α]ὶ ἄλλο τι . [ .. ... ] . ν τιμῶσιν [ ... Ἀλέξ]αν[δ]ρος ὑ παις [ ** εφασι . ε [ **... ] . ν . Ἀλέξ α [ν ** ]ι τοῦ ει *** || ἐγὼ προστάξω κρίνειν, οὗτος ὑμῶν ἔσται βραβευτής, καὶ ἐὰν εὖ δόξηι κεκρινέναι, οὗτος ζῶν ἀφεθήσεται μόνοσ‘. ἠρώτησεν οὖν εἷς τῶν Γυμνοσοφιστῶν, εἰ καὶ τὴν αἰτίαν προστιθῶσιν. δοθέν τος δὲ τούτου τὸν πρῶτον ἠρώτησεν, πότερον αὐτῶι δοκοῦσιν οἱ ζῶντες ἢ οἱ τεθνηκότες εἶναι πλείους τὸν ἀριθμὸν ἢ τοὐναντίον. τὸν δ’ εἰπεῖν τοὺς ζῶντας. ‘οὐ δίκαιον γάρ‘ ἔφη ‘τῶν οὐκ ὄντων τοὺς ὄντας εἶναι πλείουσ‘. μετὰ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δὲ τοῦτον ἠρώτα τὸν ἐχόμενον, πότερα 〈——〉 τὴν γῆν, καὶ γὰρ αὐτὴν τὴν θάλασσαν ἐπὶ τῆς γῆς εἶ ναι. τὸν τρίτον ἤρετο, τί πανουργότατον αὐτῶι δοκεῖ εἶναι ζῶιον. τὸν δ’ εἰπεῖν ‘ὃ μὴ γινώσκει μηδεὶς ἀνθρώ||πων‘. τὸν δὲ τέταρτον ἠρώτα Σαβειλὼ ἡ[γούμ]ενον αὐτῶν εἰς τί συνεβούλευσεν μά χεσθαι πρὸς αὐτόν. τὸν δ’ εἰπεῖν· ‘ὅπως ἂν αὐτῶι συμβαίηι 〈ἢ〉 καλῶς ζῆν ἢ καλῶς ἀποθανεῖν.‘ τὸν πέμπτον ἐκέλευσεν λέγειν, πότερον ἡμέρα πρότερον γέγονεν ἢ νύξ· τοῦτον δ’ ἀποκριθῆναι 〈——〉 νυκτὶ μιᾶι πρότερον ἡμέ ρας. διαπορουμένου δὲ τοῦ Ἀλεξάνδρου περὶ τού〈των〉 νοήσαντα τὸν Ἰνδὸν εἰπεῖν, ὅτι τοῖς ἀπόροις τῶν ἐρωτημά των ἀπόρους εἶναι καὶ τὰς ἀποκρίσεις συμβαίνει. τὸν ἕκτον ἠρώτα, τί ποιῶν ἄν τις ὑπὸ ἀνθρώπων ἀγαπῶιτο μά λιστα. τὸν δὲ εἰπεῖν ‘[εἰ] κράτιστος ὢν μηθεν[ὶ φο]βερὸς εἴη‘. τὸν δὲ ἕβδομον ἠρώτα, τί || ποιῶν ἄν τις γένοιτο θεός. τὸν δ’ εἰπεῖ[ν· ‘ὃ μὴ] δυνατόν ἐστιν ἄνθρωπον ποιεῖν, εἰ π[οιήσει] εν τις.‘ τὸν ὄγδοον ἠρώτα πότερον ἰσχυρότατόν ἐστιν θάνατος ἢ ζωή. τὸν δὲ ἀποκριθῆναι τὴν ζωήν· τὴν μὲν γὰρ ἐξ οὐκ ὄντων ὄντας ποιεῖν, τὸν δὲ θάνατον ἐξ ὄντων [οὐκ] ὄντας. τὸν ἔσχατον ἐκέλευε λέγειν, πόσον τινὰ χρόνον ἂν καλῶ[ς ἔχοι ζῆν]. 〈τὸν δ’〉 εἰπεῖν ἕω[ς ἂν . ] . ὑπολά[βηι . ]ωντα . [ .. ]κρ ... εἶναι [ . ] . ετερο[ .. ]ται ... [ .... λοιποῦ] δ’ ὄντος ἑ[νὸς τοῦ ...... ]τος κρίνειν τὰς ἀποκρίσεις ἠρώτησε τοῦτον, τίς αὐτῶν δοκεῖ κάκιστον ἀποκεκρίσθαι καὶ ‘ὅπως μὴ δόξηισ‘ ἔφη ‘ἀμελεῖν χαριζόμενοσ‘. τὸν δ[ὲ μὴ βουλόμενον || δι’ αὑτοῦ μηθ]ένα ἀπο[λέσθαι εἰπ]εῖν τὸν ἕ[τερον ἀε]ὶ θατέρου [χεῖρον ἀ]ποκεκρί σθαι. ‘τοιγαροῦν‘ ἔφη ‘πάντες ἀποθανεῖσθε, σὺ δὲ πρῶτος τοιαῦτα κρίνων‘. τὸν δ’ εἰπεῖν· ἀλλὰ μήν, Ἀλέξανδρε, 〈οὐ βασι〉 λικόν ἐστι [ψεύδεσθαι]. ἔφης γάρ· [‘ὃν ἂν ἐγὼ προσ] τ [άξω *** || εται γὰρ ἡμᾶς ὁ λόγος. τό γε μὴ 〈 〈ν〉 〉 ἀδίκως ἀποκτείνειν οὐχ ἡμῖν ἔστιν, ἀλλὰ σοὶ φυλακτέον.‘ τὸν δὲ Ἀλέξανδρον ἀκούσαντα κρῖναι σοφοὺς εἶναι τοὺς ἄνδρας 〈καὶ〉 προστάξαι δόντας ἱματισμὸν ἀφεῖναι πάντας.

2b,153,F 10a PORPHYR. Horat. A P 357: poeta pessimus fuit Choerilus, qui Alexandrum secutus opera eius descripsit. huius omnino septem versus laudabantur (s. Amyntas 122 F 2) . cui Alexander dixisse fertur, multum malle se Thersiten iam Homeri esse quam Choerili Achillen.

2b,153,F 10b HORAT. epp. II 1, 232: gratus Alexandro regi magno fuit ille Choerilus, incultis qui versibus et male natis rettulit acceptos, regale nomisma, Philippos.

2b,153,F 10c PHILODEM. Π. ποιημ. (P 994; Usener Kl. Schr. I 328): ὑπολάμβανε κατὰ τὸ συνέχον καὶ κυριώτατον τῶν ἐμ ποιητικῆι διαφέρειν Χοιρίλον καὶ Ἀναξιμένην (72 T 26) Ὁμήρου καὶ Καρκίνον καὶ Κλεαίνετον Εὐριπίδου καὶ τοὺς ἄλλους τοὺς πονηροὺς ἐν ποιητικῆι τῶν ἀρίστων.

2b,153,F 11a CURT. RUF. Hist. Al. VIII 5, 7—8: ... Graecorum, qui professionem honestarum artium malis conruperant moribus, Agis quidem Argivus, pessimorum carminum post Choerilum conditor, et ex Sicilia Cleo (F 10c) .....

2b,153,F 11b ARRIAN. An. IV 9, 9: καὶ δὴ καὶ τῶν σοφιστῶν τῶν ἀμφ’ αὐτὸν Ἀνάξαρχόν τε καὶ Ἆγιν Ἀργεῖον ἐποποιόν.

2b,153,F 12b SEXT. EMP. adv. gramm. I 282: λέγεται γὰρ αὐτὸν (sc. Πύρρωνα) καὶ ποίησιν εἰς τὸν Μακεδόνα Ἀλέξανδρον γράψαντα μυρίοις χρυσοῖς τετιμῆσθαι.

2b,153,F 13 STEPH. BYZ. s. Ὑστάσπαι· .... Νέστωρ (sc. Λαρανδεὺς ἐκ Λυκίας, ἐποποιός, πατὴρ Πεισάνδρου τοῦ ποιητοῦ, γεγονὼς ἐπὶ Σεβήρου τοῦ βασιλέως SUID. s. v.) δ’ ἐν τῆι α τῆς Ἀλεξανδρειάδος.

2b,153,F 14a SUID. s. Σωτήριχος Ὀασίτης· ἐποποιός, γεγονὼς ἐπὶ Διοκλητιανοῦ. Ἐγκώμιον εἰς Διοκλητιανόν· Βασσαρικὰ ἤτοι Διονυσιακά, βιβλίαδ · Τὰ κατὰ Πάνθειαν τὴν Βαβυλωνίαν· Τὰ κατὰ Ἀριάδνην· Βίον Ἀπολλωνίου τοῦ Τυανέως· Πύθωνα ἢ Ἀλεξανδριακόν (ἔστι δὲ ἱστορία Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὅτε Θήβας παρέλαβε)· καὶ ἄλλα.

2b,153,F 14b

Eulogikon public reading copy · View original HTML at eulogikon.org

STEPH. BYZ. s. Ὕασις· ... λέγεται καὶ Ὄασις καὶ ὁ πολίτης Ὀασίτης, ὁ ποιητὴς Σωτήριχος, ὁ καὶ τὰ πάτρια γεγραφώς.

2b,153,F 15a SUID. s. Ἀρριανός, ἐποποιός· Μετάφρασιν τῶν Γεωργικῶν τοῦ Βεργιλλίου ἐπικῶς ποιήσας· Ἀλεξανδριάδα (ἔστι δὲ κατὰ τὸν Μακεδόνα ἐν ῥαψωιδίαις εἴκοσι καὶ τέσσαρσιν)· Εἰς Ἄτταλον τὸν Περγαμηνὸν ποιήματα.

2b,153,F 15b STEPH. BYZ. s. Ἀστραία· πόλις Ἰλλυρίας. Ἀδριανὸς Ἀλεξανδρειάδος α ‘ οἳ δ ’ ἔχον Ἀστραίαν τε Δόβηρά τε ‘ .

2b,153,F 15c —s. Σάνεια· πόλις Ἰνδική, ὡς Ἀδριανὸς Ἀλεξανδρειάδος ζ .

Eulogikon public reading copy · View original HTML at eulogikon.org